θήσεται, καὶ οὐ μὴ ἐπέλθῃ ἐκεῖ φόβος· ἔσται γὰρ ἀπὸ τῆς χέρσου
καὶ ἀκάνθης εἰς βόσκημα προβάτου καὶ εἰς καταπάτημα βοός.
8 [1]Καὶ εἶπεν κύριος πρός με Λαβὲ σεαυτῷ τόμον καινοῦ μεγάλου
καὶ γράψον εἰς αὐτὸν γραφίδι ἀνθρώπου Τοῦ ὀξέως προνομὴν ποι-
2 ῆσαι σκύλων· πάρεστιν γάρ. [2]καὶ μάρτυράς μοι ποίησον πιστοὺς
3 ἀνθρώπους, τὸν Ουριαν καὶ τὸν Ζαχαριαν υἱὸν Βαραχιου. [3]καὶ προσ-
ῆλθον πρὸς τὴν προφῆτιν, καὶ ἐν γαστρὶ ἔλαβεν καὶ ἔτεκεν υἱόν.
καὶ εἶπεν κύριός μοι Κάλεσον τὸ ὄνομα αὐτοῦ Ταχέως σκύλευσον,
4 ὀξέως προνόμευσον· [4]διότι πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πα-
τέρα ἢ μητέρα, λήμψεται δύναμιν Δαμασκοῦ καὶ τὰ σκῦλα Σαμα-
ρείας ἔναντι βασιλέως Ἀσσυρίων.
5 6 [5]Καὶ προσέθετο κύριος λαλῆσαί μοι ἔτι [6]Διὰ τὸ μὴ βούλεσθαι
τὸν λαὸν τοῦτον τὸ ὕδωρ τοῦ Σιλωαμ τὸ πορευόμενον ἡσυχῇ, ἀλλὰ
βούλεσθαι ἔχειν τὸν Ραασσων καὶ τὸν υἱὸν Ρομελιου βασιλέα ἐφ᾽
7 ὑμῶν, [7]διὰ τοῦτο ἰδοὺ ἀνάγει κύριος ἐφ᾽ ὑμᾶς τὸ ὕδωρ τοῦ ποτα-
μοῦ τὸ ἰσχυρὸν καὶ τὸ πολύ, τὸν βασιλέα τῶν Ἀσσυρίων καὶ τὴν
δόξαν αὐτοῦ, καὶ ἀναβήσεται ἐπὶ πᾶσαν φάραγγα ὑμῶν καὶ περι-
8 πατήσει ἐπὶ πᾶν τεῖχος ὑμῶν [8]καὶ ἀφελεῖ ἀπὸ τῆς Ιουδαίας ἄνθρω-
πον ὃς δυνήσεται κεφαλὴν ἆραι ἢ δυνατὸν συντελέσασθαί τι, καὶ
ἔσται ἡ παρεμβολὴ αὐτοῦ ὥστε πληρῶσαι τὸ πλάτος τῆς χώρας
9 σου· μεθ᾽ ἡμῶν ὁ θεός. [9]γνῶτε ἔθνη καὶ ἡττᾶσθε, ἐπακούσατε ἕως
ἐσχάτου τῆς γῆς, ἰσχυκότες ἡττᾶσθε· ἐὰν γὰρ πάλιν ἰσχύσητε,
10 πάλιν ἡττηθήσεσθε. [10]καὶ ἣν ἂν βουλεύσησθε βουλήν, διασκεδάσει
κύριος, καὶ λόγον ὃν ἐὰν λαλήσητε, οὐ μὴ ἐμμείνῃ ὑμῖν, ὅτι μεθ᾽
ἡμῶν κύριος ὁ θεός.
11 [11]Οὕτως λέγει κύριος Τῇ ἰσχυρᾷ χειρὶ ἀπειθοῦσιν τῇ πορείᾳ τῆς
12 ὁδοῦ τοῦ λαοῦ τούτου λέγοντες [12]Μήποτε εἴπητε σκληρόν· πᾶν
γάρ, ὃ ἐὰν εἴπῃ ὁ λαὸς οὗτος, σκληρόν ἐστιν· τὸν δὲ φόβον αὐτοῦ
13 οὐ μὴ φοβηθῆτε οὐδὲ μὴ ταραχθῆτε· [13]κύριον αὐτὸν ἁγιάσατε,
14 καὶ αὐτὸς ἔσται σου φόβος. [14]καὶ ἐὰν ἐπ᾽ αὐτῷ πεποιθὼς ᾖς, ἔσται
σοι εἰς ἁγίασμα, καὶ οὐχ ὡς λίθου προσκόμματι συναντήσεσθε

25 και $2^0$ AQ] > BS*LC* | εις ult. AQ$S^c$] > BS**LC*

8 1 καινου μεγαλου] pr. χαρτου A, καινον μεγαν *LC* | εις αυτον] εκει S*† || 2 ουριαν] + τον ιερεα *LC* (in *O* sub ※) | τον ult. > B*LC*: cf. 6 || 3 προσηλθον B*LC*] -θεν SAQ || 5] + λεγων *C* (in *O* sub ※) || 6 τον $2^0$ > B | ραασσων] ρασσων B†, ρασειν *L*, ραασ(σ)ιν *C*: cf. 7 1 || 7 αναγει κυριος] tr. B*C* = 𝔐 | την δοξαν] τ. δυναμιν S, pr. πασαν *L* || 8 η $1^0$] ει A$S^c$ | συντελεσαι A† | ωστε πληρ. > A† | τα πλατη A || 9 επακουσετε(uel -ται) AQ | εως] + επ B*† | παλιν $1^0 \frown 2^0$ S*† || 10 λογον] pr. τον A† | εαν > B† | υμιν BA$C^p$] > SQ, pr. εν $LC^p$ | κυριος ult. > B*LC* || 11 κυριος] + ο θεος A | τη $2^0$] pr. και *L* || 12 μηποτε] μη S*L* | ειπητε] -πωσιν B*C* | εαν] αν B | ουδε μη] ουδ ου μη A: cf. 11 9 7 12 5 6 30 20 etc. || 13 κυριον] pr. τον *LC* (in *O* sub ※), + των δυναμεων *C* (in *O* sub ※) | φοβος] βοηθος S† || 14 και εαν] καν B*C* ($C^p$† και) | σοι εις] σου εις (sic) S*Q†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/580 UNIVERSITÄT LEIPZIG